A 8.11 Pet. 229/1

# ΑΚΟΛΟΥΘΙΑ

Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν

## ΠΑΪΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Ψαλλομένη κατὰ τὴν ιθ΄. τοῦ Ἰουνίου Μηνός.

Συντεθεῖσα καὶ Διορθωθεῖσα παρὰ τοῦ κυρίου Χριστοφόρου Διδασκάλου τοῦ ἐν τῷ Ὄρει τοῦ Ἄθωνος ἀσκήσαντος. Ἐπαυξηνθεῖσα δὲ νῦν ἐπιμελῶς παρὰ τοῦ Πανιερωτάτου καὶ Θεοπροβλήτου Μητροπολίτου Ἁγίου Σοφίας

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΠΑΪΣΙΟΥ.

Νῦν πρῶτον τύποις ἐκδίδοται ἀναλώμασι καὶ φιλοτίμῳ Δαπάνῃ τῆς αὐτοῦ Πανιερότητος.

Ἐν τῷ Πατριαρχικῷ Τυπογραφείῳ.

1835.

## ΠΑΣΙ ΤΟΙΣ ΕΝΤΥΓΧΑΝΟΥΣΙΝ

ἐν Χριςῷ μοι Πατρᾶσι καὶ ἀδελφοῖς τὴν ὀφειλομένην μοι ἀπονέμων τιμὴν, τὴν παρὰ τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν βοήθειαν ἅπασι δοθῆναι ταπεινῶς ἐπικαλούμενος εὔχομαι.

Η περὶ τὰ Θεῖα σπουδὴ καὶ ἐπιμέλεια πρὸς αὔξησιν τῆς πρὸς Θεὸν λατρείας τῆς ἀμωμήτου ἡμῶν Πίςεως· τὸ σέβας καὶ τὴν εὐλάβειαν ὁποῦ φέρω πρὸς τὸν Ὅσιον καὶ Θεοφόρον Πατέρα ἡμῶν Παΐσιον τὸν μέγαν· καὶ τῇ ὁμωνυμίᾳ αὐτοῦ σεμνυνόμενος καὶ κοσμούμενος· ὡς μὲν γὰρ λαοῦ προεςᾶναι Θείῳ ἐλέει προχειρισθεὶς, καὶ μάνδραν λογικὴν ποιμένειν λαχὼν εὐσεβείας γάλα ποτίζειν τῶν Ὀρθοδόξων τὰ συςήματα, καὶ τοῦ ἐμπιςευθέντος μοι λογικοῦ ποιμνίου κατὰ τὸ δυνατὸν φροντὶς καὶ πρόβλεψις. Τὸ πλῆρες δὲ τῆς εὐλαβείας καὶ τῆς ἀγάπης, ὅπερ φέρω πρὸς τὸν Ἅγιον, καὶ μάλιςα διὰ τὴν πολιτείαν αὐτοῦ τὴν ἰσάγγελον, καὶ τῶν κατορθωμάτων τὸ πλῆθος, τὰς ἀγρυπνίας, τὰς προσευχὰς, ἣν βαςάσας ἐπὶ χρόνοις πολλοῖς, ἐν σμικροτάτῳ σπηλαίῳ, ἐν νηςείᾳ καὶ κατατήξει τῆς σαρκὸς αὐτοῦ ὑπὲρ ἄνθρωπον, ἵνα καθυποβάλλῃ τὸν ἀντίπαλον· οὐ δίκαιον ἔκρινα μέχρι τοῦ νῦν, ἵνα τοῦ Θείου Πατρὸς οἱ ἀγῶνες, καὶ ὁ ἐνάρετος βίος μὴ εἶεν ἐν παρόδῳ τοῦ λοιποῦ καὶ ἐν ἀδήλῳ, εἰδὼς ὡς οὐ μικρὰν ἐμποιοῦντα τὴν λυσιτέλειαν ταῖς τῶν φιλεόρτων ψυχαῖς.

Ὃν δὲ καὶ τῷ Θεῷ ἀφοσιούμενος ἀπονέμω τὰ κρείττονα, καὶ τῷ Καίσαρι ὑπὲρ τοῦ ἐμπιστευθέντος μοι λογικοῦ ποιμνίου ἀποδίδω τὰ δέοντα· ἓν καὶ μόνον κατὰ σκοπὸν ἔχων τὸ ἐν πᾶσιν ἀρέσαι τῷ πάντων κυριεύοντι Θεῷ, καὶ Κριτῇ ἀδεκάστῳ. Διὸ καὶ Θείῳ ἐλέει τύποις ἐκδοῦναι βουληθεὶς τὴν παροῦσαν Ἀκολουθίαν τοῦ Ὁσίου καὶ Θοοφόρου Πατρὸς ἡμῶν Παϊσίου τοῦ Μεγάλου, ἤδη πρῶτον τύποις καθαροῖς καὶ χαρακτῆρσιν ἐκδίδεται, ἐντελῶς καὶ ἐπιμελῶς διορθωθεῖσα, σπουδῇ καὶ ἀναλώμασιν ἡμετέροις, τοῦ Θείῳ ἐλέει Ἀρχιερατικῶς προϊσαμένου Πανιερωτάτου καὶ Θεοπροβλήτου Μητροπολίτου Σοφίας κυρίου Παϊσίου. Διὸ καὶ ὁ Θεοφιλὴς σκοπὸς τὸ προσῆκον τέλος ἔλαβεν, ἀξιοχρέως τὴν ἱερὰν Ἀκολουθίαν τοῦ Θείου ἡμῶν Πατρὸς ὡς προσφορὰν προσκομίσας ἀφιέρωσα μετ' εὐλαβείας καὶ πίστεως ἐπὶ τῷ ἱερῷ αὐτοῦ Ὀνόματι. Δεξάμενοι τοιγαροῦν εὐμενῶς τὴν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παϊσίου τοῦ Μεγάλου Ἀκολουθίαν, ἐπιδαψιλεύετέ μοι τὰς ὑπὲρ τῆς ψυχικῆς σωτηρίας ἐμοῦ τοῦ ταπεινοῦ ἱλαστικὰς πρὸς Κύριον ὑμετέρας εὐχάς, δεχόμενοι δέ μου μᾶλλον τὸ ὀφειλόμενον σέβας, ὅπερ διὰ παντὸς μετ' εἰλικρινοῦς διαθέσεως φέρω πρὸς τὰς σεβαστὰς ὑμῶν κορυφάς, καταφαιδρύνον μοι ταῖς πρὸς Θεὸν Θεοπειθέσιν εὐχαῖς καὶ ἐκτενέσιν ὑμῶν ἱκεσίαις. αἷς εἴησάν μοι ποδηγαὶ ἐν τοῖς τοῦ Κυρίου εὐαρέστοις θελήμασι.

Ὁ ὑμέτερος ἐν ἁγίῳ Πνεύματι ἀδελφὸς
καὶ ταπεινὸς Μητροπολίτης
Σοφίας Παΐσιος.

# ΜΗΝΙ ΙΟΥΝΙΩ ΙΘ'

τοῦ Ὁσίου Πατρὸς ἡμῶν

## ΠΑΪΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

### Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος Ἀνήρ, τὸ α' Ἀντίφωνον, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, καὶ ψάλλομεν τὰ παρόντα εἰς η'. δευτεροῦντες τὰ δύο.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὥσπερ τὸν μικρότερον Δαβίδ, πάντων τῶν αὐτοῦ αὐταδέλφων, ὁ ἱερὸς Σαμουήλ, τῷ Θεῷ προέκρινεν, οὕτω καὶ σὲ ὁ φανείς, τῇ μητρί σου ἀσώματος, Παΐσιε πάντων, ἐκ παιδὸς ἀφώρισε, τῶν συναιμόνων σου· ὅπως τοῦ Δεσπότου δοξάσῃς, σοῦ ταῖς θαυμασταῖς ἀριστείαις ὄνομα τὸ Θεῖον καὶ πανένδοξον. Δίς.

Δεῦρο ὁ χορὸς τῶν μοναστῶν, νῦν τὸν πολιστὴν τῆς ἐρήμου ἀνευφημήσωμεν, ἡσυχίας ἔνθερμον, ὡς ἀληθῶς ἐραστήν, ἀρετῆς ἐξεικόνισμα, ἀζύγων ἀλείπτην, τούτων καὶ ἀγλάϊσμα, δικαιοσύνης ζυγόν, κλεῖθρον σωφροσύνης τελείας, θήκην ἀσφαλῆ τῆς ἀνδρείας, καὶ λαμπρὸν φρονήσεως θη-

σαύρισμα. Δίς.

Χαίρων τῇ μελέτῃ τῇ πυκνῇ, τῶν Ἱερεμίου λογίων, τοῦτον ἑώρας σαφῶς, Πάτερ ἀναπτύσσοντα, τὰς προφητείας αὐτοῦ· ἀλλὰ δὴ καὶ τὸν Κύριον κατεῖδας φιλίως, ἄγαν προσφεγγόμενον, εἰρήνη σοὶ τῷ ἐμῷ, δούλῳ τῷ πολλὰ ποθουμένῳ· σὺ γάρ με δοξάσεις ἀθροίσας, ἀσκητῶν πληθὺν εἰς εὐδοκίμησιν.

Ὄντως τὰ προοίμια τῆς σῆς, Μάκαρ ἐπιδόσεως ὤφθη, τῆς πρὸς Χριςὸν θαυμαςά, ἅμα γὰρ τῷ κείρασθαι, εἰς μοναχὸν πρὸς Παμβὼ, παραινοῦντα πειθόμενον, αὐτὸν μὴ σκοπεύειν, εἰς ἀνθρώπου πρόσωπον, ἀλλὰ τὰ κάτω ἀθρεῖν· τρίτον παρελήλυθεν ἔτος, πρόσωπον ἐξ ὅτου οὐκ εἶδες συμβουλὴν τηρῶν, τὴν τοῦ ἐφόρου σου.

Θείῳ ἐκ νεότητος σαυτὸν, ἔρωτι πτερώσας ἀπέπτης εἰς ὕψος Ἅγιε· ἀπαθείας, ἅπασαν ἐπαπωσάμενος, κόσμου δόξαν χαμαίζηλον· Σταυρὸν δὲ ἐπάρας, ζυγὸν τὸν σωτήριον χαίρων ἐτέλεσας, βίον, ἀμυθήτοις ἀγῶσι κατὰ τοῦ ἀλάςορος ὅθεν ἡ Τριὰς μεγάλως σε ἐδόξασε.

Ἔχων παῤῥησίαν πρὸς Χριςὸν, πάντων τῶν ἐν πίςει τελούντων, τὴν σὴν σεπτὴν ἑορτὴν, Ὅσιε Παΐσιε, θερμῶς προΐςασο, τῶν κινδύνων ῥυόμενος, παθῶν ἀπαλλάττων, πάσης περιςάσεως δεινῆς λυτρούμενος, νέμων καὶ ψυχῶν σωτηρίαν, θείαις σου ἐντεύξεσιν ὅπως τοὺς σεπτοὺς ἀγῶνας σου δοξάζομεν.

Δόξα ἦχος πλ. β'.

Σήμερον ἐπέλαμψεν ἡμῖν, ἡ χαρμόσυνος μνήμη, τοῦ ἐν ἀσκηταῖς ἀσκητοῦ, καὶ ἀσκητῶν περισσοτέρου Παϊσίου, οὗ

καὶ



καὶ ἐν τῷ μετὰ σώματος βίῳ, ἡ παῤῥησία πρὸς Θεὸν ἀμύθητος, καὶ αἱ παρ' ἐκείνου χάριτες ἄπειροι, περὶ τίνος γὰρ ἄλλου, εὐαρεςήσαντος Θεῷ ἤκουσαι, καταβῆναι πρὸς αὐτὸν ὁ Χριςὸς, καὶ καταδέξασθαι νιφθῆναι τοὺς οἰκείους πόδας, οἷον παρ' αὐτοῦ τοῦ Μεγάλου τετέλεςαι; ἢ τίνι ἄλλῳ διὰ προσευχῆς ἐξεγένετο, κατενεγκεῖν τὸν Χριςὸν ἐξ Οὐρανοῦ, ἐν νεφέλαις καὶ σάλπιγξιν, ὡς ἂν ἐξ ᾅδου ψυχὴν ἀπολύσῃ; ξενήκουςα ταῦτα καὶ φρικωδέςατα. Διὸ αὐτὸν ὡς δυνατὸν, ἐν παῤῥησίᾳ πρέσβυν πρὸς Κύριον προβαλλώμεθα εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτ. ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράςως σαρκωθεὶς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε Σεμνὴ Παμμακάριςε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρὸν· τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ, καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλή-

πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες, ἐν καλάμῃ διαδραμοῦνται, κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον, λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλυκμήσει αὐτοὺς, καὶ ἐρημώσει





πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται, πολιὰ δὲ ἐστὶ, φρόνησις ἀνθρώπων, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ· ἢ δόλος ἀπατήσει ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν λιτὴν στιχηρὰ ἰδιόμελα ἦχος α΄.

Ὢς θαυμαστοὶ οἱ ἀγῶνές σου Πάτερ καὶ τὰ παλαίσματα· σὺ γὰρ ἀληθῶς τὴν φύσιν ἐνστησάμενος βιάσασθαι, τοὺς πάντας ἐν τούτῳ ὑπερηκόντησας· ἑβδομάδα γὰρ δεκάδος ἡμερῶν, ἐν ἀσιτείᾳ ὅλην διήνυσας, καὶ τοὺς βοστρύχους προσήλωσας ἐν τῷ τοίχῳ τῆς κεφαλῆς σου· οὕτως ἀπῃωρημένος τὰς εὐχὰς, τῷ Κυρίῳ ἀνέπεμπες, καὶ συνελόντα ἀΰλωσας σαυτὸν ἐν τοῖς σκάμμασιν, ἐνδιαίτημα

ἐπάξιον, γέγονας τῆς Ὑπερθέου Τριάδος, ἣν ἐκμειλίσσεσθαι ἡμῖν, μὴ διαλείπῃς, ὑπερθαύμαστε Παΐσιε.

ἦχος β΄.

Δεῦτε τῶν Μοναστῶν τὰ πλήθη εἰς ἓν συνέλθωμεν, καὶ τοῖς τῶν ᾀσμάτων ἄνθεσι, τῶν ἀσκητῶν τὸν ἔξαρχον, Παΐσιον τὸν ἀοίδιμον καταστέψωμεν· τὸν γὰρ Σταυρὸν τοῦ Σωτῆρος, ἐπ' ὤμων ἄρας, προθύμως αὐτῷ ἠκολούθησε, καὶ ἀγγελικῶς βιώσας, ὡς πυρσὸς φωταυγὴς, τοὺς τῇ κοσμικῇ ζάλῃ συνεχομένους φρυκτωρεῖ, πρὸς λιμένα σωτηρίας ἐγκαθορμίζων αὐτοὺς διασώζει ἀεί· καὶ νῦν πρὸς ὄρη νοητὰ, καὶ Παραδείσου σκηνώματα μεταβέβηκεν, ὅπου τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, πρεσβεύων ἀλήκτως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ὁ ἐπὶ γῆς Ἄγγελος, καὶ ἐν Οὐρανοῖς ἄνθρωπος Θεοῦ τῶν Μοναστῶν τὸ σεμνολόγημα, καὶ τοῦ κόσμου ἡ χαρὰ Παΐσιος ὁ πανθαύμαστος· σήμερον συγκαλεῖται ἡμᾶς πρὸς πανδαισίαν πνευματικὴν, τοὺς ὑπὲρ φύσιν ἀγῶνας αὐτοῦ, καὶ τῶν θαυμάτων τὸ μέγεθος προτιθεὶς ἡμῖν, ὡς ἐδέσματα πανευφρόσυνα. Πάντες οὖν πνευματικῶς εὐφρανθέντες, τοῦτον ἀνευφημήσωμεν ὡς πρεσβεύοντα ἐκτενῶς τῷ Κυρίῳ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ ἐκτελούντων τὴν μνήμην αὐτοῦ. ἦχος δ΄.

Εὐφράνθητι ἔρημος διψῶσα, Ἡσαΐας προορῶν, τὸν ἁγιόλεκτον συνασπισμὸν, τῶν ἐν ἐρήμοις ἀβάτοις καὶ ἀοικήτοις διαλαμψάντων Πατέρων ἔλεγεν· ὧν πολιστὴς καὶ ἔξαρχος, ὁ Μέγας Παΐσιος ἀναδείκνυται, ὁ νῦν παρ' ἡμῶν εὐ-

εὐ-



εὐφημούμενος· οὗτος γὰρ ἐν σημείοις ἀπείροις, καὶ τέρασιν ἐξαισίοις διαλάμψας, τὴν ἔρημον ὡς πόλιν ἀνέδειξε καὶ τὴν Οἰκουμένην ταῖς διδασκαλίαις αὐτοῦ κατεφώτισεν· οὗ ταῖς λιταῖς ὁ Θεὸς ἐν εἰρήνῃ ἡμᾶς διαφύλαξον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν. Δόξα ἦχος πλ. β΄.

Εἰς ὄρος ὑψηλῆς ἐπιβὰς πολιτείας, τὰς ἐρήμους κατέλαβες Παΐσιε· ἵν' ἔχῃς ὡς εἰκόνα τῶν ἀοράτων τὰ ὁρώμενα· δέονται γὰρ πόνων καὶ καμάτων, τὰ τραχέα καὶ ὑψηλὰ, καὶ τὰ πόρρω ὡς ἐγγὺς προέβλεπες, καὶ ὡς παρόντα τὰ μέλλοντα προεθέσπεις· ἐδήλου γάρ σοι ταῦτα τὸ ἐνοικοῦν σοι Πνεῦμα, καὶ ὡς εἰς ἅρμα τοῖς πόνοις σου, ἀμφοτέρωθεν τροχοῖς ἀναπτερούμενος, τῇ ἀγάπῃ πρὸς Χριστὸν, πρός τε τὸν πέλας ἀκριβῶς, εἰς Οὐρανοὺς ἀνυψώθης. Ἔχων οὖν παῤῥησίαν πρὸς Χριστὸν, δι' ὃν τοὺς μεγίστους ἀγῶνας διήνυσας, πρέσβευε ἐκτενῶς, ὑπὲρ τῶν πίστει τελούντων σου τὰ μνημόσυνα· Καὶ νῦν Θεοτ.

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθὼν, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε. Διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια ἦχος α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνέλθωμεν, καὶ τὴν παμφαεστάτην, Ἑορτὴν Παϊσίου, τελέσωμεν ἐκ πόθου· οὗτος καὶ γὰρ, ὡς Μωσῆς ὁ Θεόκριτος, κατηξιώθη συγφθέγ-

γε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

γεσθαι τῷ Χριςῷ, οἷα φίλος πρὸς τὸν φίλον αὐτοῦ.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τῆς Παϊσίου τραπέζης, ξένως μετάσχωμεν· κεῖται αὐτοῦ γὰρ νέκταρ, συμπλοκῇ ἀρωμάτων, μελῶν παναρμονίᾳ χύδην τε φῶς, ἐκπιόντες ὀσφρώμεθα, ἀκουτισθῶμεν κατίδωμεν καὶ αὐτοῦ, τὴν Εἰκόνα προσκυνήσωμεν.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ἀνακαθάρας τὸ ὄμμα, Πάτερ τοῦ πνεύματος, τὰ μετὰ ταῦτα ὥσπερ, ἐνεςῶτα ἑώρας, διόπερ καὶ ποιμένος τοῦ θαυμαςοῦ, ἔτι νέου ὑπάρχοντος, καὶ προσελθόντος σοι πόθῳ διακαεῖ, τὸ ἰσάγγελον προείρηκας.

Δόξα ἦχος δ'.

Ἀκραιφνῶς ἀνέφηνας Σωτὴρ, καὶ ἐν τῷ γνησίῳ σου θεράποντι Παϊσίῳ τὴν ἐν Εὐαγγελίοις ὑπόσχεσιν ἀληθεύουσαν· καὶ γὰρ καὶ αὐτῷ παραμείβοντι τὸν δόλιχον τῆς ἀσκήσεως, χαίρειν προσειπὼν, καὶ τὴν χάριν διδόναι ἔφησθα, τοῦ λαμβάνειν ὅ, τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί σου, ἐπιδαψιλευσάμενος, καὶ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, ὑπὲρ ὧν ἐκεῖνος σοῦ δεηθείη. Χάρισε οὖν δἰ αὐτοῦ ἡμῖν τὴν λύσιν, τῶν ἀμπλακημάτων ὡς ὑπεράγαθος.

Καὶ νῦν Θεοτ.

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναςάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προςασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν Δέσποινα· σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιςῶς βοώντων. Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια χαρὰ καὶ σκέπη καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.



Ἀπολυτ. ἦχος δ'.

Ὁ ἔνσαρκος Ἄγγελος τῶν Μοναςῶν κορωνὶς, ὁ ἄσαρκος ἄνθρωπος τῶν Οὐρανῶν οἰκιςής· ὁ Θεῖος Παΐσιος· χαίρει τῇ αὐτοῦ μνήμῃ, σὺν ἡμῖν ἑορτάζων νέμει τοῖς κοπιῶσι, δἰ αὐτὸν Θείαν χάριν. Διὸ ἐν προθυμίᾳ πολλῇ τοῦτον δοξάσωμεν.

Δίς. Καὶ Θεοτοκίον, Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος.

Εἰς δὲ τὸν Ὄρθρον, ἡ συνήθης ςιχολογία.

Μετὰ τὴν α'. ςιχολογίαν Κάθισμα ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Προσπαθείας ὑλικῆς, ἀποκαθάρας σεαυτὸν, ὦ Παΐσιε Σοφὲ, μάλα συχνῶς τῷ καθαρῷ, ἐν ἀϋλίᾳ ὡς ἄϋλος προσωμίλεις, Χριςῷ τῷ δἰ ἡμᾶς ἐν ὕλῃ φάναντι, καὶ ταύτῃ συναπτῶς ἀεὶ ὑπάρχοντι, καὶ μετὰ ταύτης μέλλοντι εἰς τέλος ἐξ Οὐρανοῦ καταβίσεσθαι· ὅπου τε πρέσβυς, γενοῦ τῶν πίςει ἀνευφημούντων σε Ἅγιε.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτ. ὅμοιον.

Τρικυμίαις τῶν παθῶν, ὁ ἀσυνήθητος ἐγὼ, χειμαζόμενος Ἁγνὴ, ἐπικαλοῦμαι σε θερμῶς· μὴ παρίδῃς τὸν δείλαιον ἀπολέσθαι, ἄβυσσον ἐλέους ἡ τέξασα· πλὴν σου γὰρ ἄλλην ἐλπίδα οὐ κέκτημαι. Μὴ οὖν ἐχθροῖς ἐπίχαρμα καὶ γέλως, ὁ πεποιθὼς σοι ὀφθήσωμαι· καὶ γὰρ ἰσχύεις, ὅσα καὶ βούλει, ὡς Μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Μετὰ τὴν β'. ςιχ. Κάθ. ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Ὑπερέβης τοὺς πάντας ἐν ἀρετῆς, ἀγωνίσμασι Μάκαρ ὡς

ὡς καὶ Χριςὸν, αὐτοῖς ἀσμενίζοντα, συνεχῶς σοι ὀπτάνεσθαι, καὶ ὁμιλεῖν ὡς φίλος, πρὸς φίλον εὐνούςατα· ὃ κομιδῇ βραχέσιν, Ἁγίων εὐτύχιςαι. Ὅθεν καὶ τοὺς πόδας, ἀπονίψαι ἐκείνου, ἐνδόξως ἠξίωσαι, καὶ ψυχὴν τελευτήσαντος, ἐκ τοῦ ᾅδου λυτρώσασθαι. Ἱλέωσαι ἀλλ' οὖν καὶ ἡμῖν, τὸν Δεσπότην, πλεῖςα ἁμαρτάνουσιν, ὡς παῤῥησίαν μεγίςην, πρὸς αὐτὸν εὑράμενος.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτ. ὅμοιον.

Τὴν Βασίλισσαν πάντες δεῦτε πιςοί, τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ, ᾠδαῖς μεγαλύνομεν, καὶ ὑμνοῦντες βοήσωμεν, ἡ τῆς χαρᾶς αἰτία, Παρθένε Πανάμωμε· τοὺς τιμῶντας σε σῶζε, καὶ σκέπε πρεσβείαις σου, ἐκ παντοίων κινδύνων, καὶ νόσων καὶ θλίψεων· ἔχεις γὰρ ὡς Μήτηρ, τοῦ Θεοῦ παῤῥησίαν, οἰκτείρειν βραβεύειν τε, νοσημάτων τὴν ἴασιν, Παναγία πανύμνητε, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν, τοῖς προσκυνοῦσιν ἐν πίςει, τὸν Πανάγιον Τόκον σου.

Μετὰ τὸν πολυέλ. κάθ. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ζωῆς ἐφιέμενος τῆς ἀκηράτου Σοφὲ, τοῦ κόσμου τερπνόπητα ὥσπερ ἐπίβουλον, παρεῖδες Παΐσιε. Ὅθεν ἐν εὐφροσύνῃ, Ὁσιώτατε Πάτερ, ἦλθες πρὸς τὰς ἀΰλους, τῶν Ἀγγέλων σκηνώσεις· ἐν οἷς τῶν μεμνημένων σου μέμνησο πάντοτε.

Δόξα ἦχος ὁ αὐτός. Ἐπεφάνης σήμερον.

Ἐξ Αἰγύπτου ἤςραψας ὡς Ἑωσφόρος, καὶ τὸν κόσμον ἔλαμψας ταῖς φαειναῖς σου ἀρεταῖς ἀγλαϊσμένε Παΐσιε, πᾶσιν ἐκλάμψας τὸ φῶς τῆς ἀσκήσεως.

Καὶ



Καὶ νῦν Θεοτ. ὅμοιον.

Ἐν τῇ σκέπῃ Πάναγνε, τῇ σῇ Παρθένε προσφυγόντων δέησιν, προσδεξαμένη παρ' ἡμῶν μὴ διαλείπῃς πρεσβεύουσα τῷ Φιλανθρώπῳ σωθῆναι τοὺς δούλους σου.

Οἱ ἀναβαθμοὶ, τὸ α'. ἀντίφωνον τοῦ δ'. ἤχου. Ἐκ νεότητος. Προκείμενον ἦχος δ'. Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν; Τίμιος — —

Πᾶσα πνοή. Εὐαγγέλιον Ὁσιακόν.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πάντες πρός με οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶος εἰμὶ, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηςὸς, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐςίν.

Καὶ εὐθὺς ὁ Ν'. τὸ Ἐλέησόν με ὁ Θεός. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον ἦχος β'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ—

Εὐφρανθήσονται ἔφη γηγενεῖς, ἐγκωμιαζομένου δικαίου, Σολομὼν ὁ σοφώτατος· τούτου γὰρ ἡ μνήμη, ἀθανασίας ὑπάρχει πλήρης. Διὸ καὶ ἡμεῖς Ὁσίων ἀγλάϊσμα, Παΐσιε

παν-

πανθαύμαςε, σήμερον γηθόμενοι τιμῶμεν σε, καὶ βοῶμεν σοι δεόμενοι, ἱκέτευε ῥυσθῆναι ἡμᾶς ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ· ὅπως σε κατὰ χρέος γεραίρομεν, ὡς πλουτοῦντες ῥύςην καὶ πρόμαχον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ Κύριε ἐλέησον ιβ΄. καὶ οἱ κανόνες. Ὁ κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς΄. καὶ τοῦ Ἁγίου εἰς η΄. Ὁ κανὼν τῆς Θεοτόκου.

Ὠδὴ α΄. ἦχος β΄. Θεοφάνους, ὁ Εἱρμός.

Ἐν βυθῷ κατέςρωσε ποτὲ, τὴν φαραωνύτιδα, πανςρατιὰν ἡ ὑπέροπλος δύναμις· σαρκωθεὶς ὁ λόγος δὲ τὴν παμμόχθηρον, ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος, ἐνδόξως γὰρ δεδόξαςαι.

Ὡς ὡραίαν ὡς περικαλλῆ, ὅλην ὡς ἀμώμητον, ἐν γυναιξὶ Θεός σε ἐκλεξάμενος, σοῦ τὴν μήτραν ᾤκησε, τὴν ἀμώμητον· ὃν δυσώπει Πανάμωμε, μώμου ἐγκλημάτων, ἅπαντας ῥυσθῆναι τοὺς ὑμνοῦντας σε.

Ψαλμικῶς Ἁγνὴ ἐκ δεξιῶν, οἷάπερ Βασίλισσα, τοῦ ἐκ τῆς σῆς νηδύος ἀναλάμψαντος, Βασιλέως ἕςηκας· ὃν ἱκέτευε, δεξιὸν παραςάτην, δεῖξαι ἐν ἡμέρᾳ, τῆς ἀνταποδόσεως Θεόνυμφε. Θεοτ.

Χερσωθεῖσαν φύσιν τῶν βροτῶν, πᾶσιν ἀτοπήμασι, τὸν ὑετὸν τεκοῦσα τὸν οὐράνιον, ὅλην ἀνεκαίνισας· ἀλλὰ δέομαι, τῆς ψυχῆς μου τὴν αὔλακα, ἀποχερσωθεῖσαν, δεῖξον καρποφόρον Θεονύμφευτε.

Ὁ κανὼν τοῦ Ἁγίου. Ὁ αὐτὸς Εἱρ.

Ἆσαι ἐγχειρήσαντι τὴν σὴν, Μάκαρ νῦν πανήγυριν, παρεςηκὼς τῇ Τριάδι ὁλόφωτος, ἔνθεν ἀκροώμενος, θεῖα ᾄσματα, Σεραφεὶμ ὥσπερ ἄνθρακος, τούτων μοι μετάδος, πρέπον ἵνα πλέξω σοι μελῴδημα.



Πόῤῥωθεν προγνώσει Θεϊκῇ, τοῦ παντὸς ὁ Πρύτανις, κατανοήσας Παΐσιε Μέγιςε, ἃς τελέσειν ἔμελες ὑπὲρ ἄνθρωπον, ἀρετὰς ἔτι νήπιον, πέλων ἑαυτῷ σε, ἐκ τῶν ἀδελφῶν σου πρὶν ἐχώρισε.

Πάτερ μοι ἱλέωσε Χριςὸν, ὃν ἀπὸ νεότητος, οὐκ ἐπαυσάμην πικραίνων ὁ ἄθλιος, ταῖς αἰσχραῖς μου πράξεσι, παῤῥησίαν γὰρ πρὸς αὐτὸν πλείςην κέκτησαι ὃν σὺ τοὐναντίον, ηὔφρανας, ἐκ βρέφους τῇ ἀσκήσει σου.

Θεοτοκ.

Ἦκε σοι Ἁγνὴ τὸν ἀσπασμὸν, φέρων ὁ Ἀρχάγγελος, λαμπροφανῶς ἐςαλμένος καὶ ἔξαλλος· συναντήσας ὅμως δὲ, τοῖς πυρσεύμασι, τοῖς ἐκ σοῦ ὑπὸ σύγκρισιν, σελλαγιζομένοις, μᾶλλον κατηυγάσθη, ἢ κατηύγασεν.

Καταβασία. Ἀνοίξω τὸ ςόμα μου. Ὠδὴ γ΄. ὁ Εἱρμός.

Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν ςειρεύουσα Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐςερεώθη ἡ καρδία μου.

Φορέσαι με τὸν ἄνθρωπον, ἐκ γαςρός σου πρόεισιν, ὁ Ποιητὴς Πανάμωμε, ἀφθαρσίας ςολὴν δωρούμενος, τοῖς πολλοῖς γυμνωθεῖσαν ἀτοπήμασι.

Ὑπέρτιμον ἐκύησας, Θεὸν λόγον Δέσποινα· ὃν ἐκτενῶς ἱκέτευε, οἰκτειρῆσαι τὴν ταπεινήν μου ψυχὴν, ἡδονῶν ἀτιμίαις σκηθρωπάζουσαν. Θεοτοκ.

Τὰ τραύματα θεράπευσον, τῆς ψυχῆς μου ἄχραντε, τὴν ταπεινὴν καρδίαν μου, φαρμαχθεῖσαν ἰῷ τοῦ ὄφεως, δρα-

,, δραςικῷ σου φαρμάκῳ περιποίησον.

Τοῦ Ἁγίου ὁ αὐτός.

Οὐράνιος ἐπέφανε, τῇ μητρί σου Ἄγγελος, τὸ ἐκ παιδὸς, εὐδόκιμον, προαγγέλων ταύτῃ Ὅσιε, ὡς ὅγε Σαμουὴλ τὸ προφητάνακτος.

Ἐπέβης Πάτερ κλίμακι, νοερᾷ ἣν ἔπηξας, δι' ἀρετῆς σὲ φέρουσαν, ἔτι ζῶντα εἰς τὰ Οὐράνια, ἐν οἷς μετ' Ἀγγέλων συνδιέτριβες.

Συνέτισόν με Ἅγιε, εἰς τὰ Θεῖα νεύματα, ὡς ἂν αὐτοῖς μὴ σφάλλωμαι, οἷα καὶ σὲ πρὶν εἰς τὰ ἴδια, αὐτὸς Ἱερεμίας προφητεύματα.

Ταπεινοφθόγγῳ ῥήματι, πρὸς τὸν Ἀρχιςράτηγον τὴν ταπεινὴν Ὑπέραγνε, τῶν ἀνθρώπων φύσιν ἀνύψωσας, διό σε καὶ ἡμεῖς ὑψοῦμεν ᾄσμασιν.

Κάθ. ἦχος πλ. α΄. Τὸν συνάναρχον λόγον.

Συνελθόντες Παΐσιε σε γεραίρομεν, ἐπιβὰς ὡς εἰς ἅρμα· καὶ γὰρ τοὺς πόνους σου ἀμφοτέρωθεν τροχοῖς οἷα πτερούμενος, τῇ ἀγάπῃ πρὸς Χριςὸν, πρός τε τὸν πέλας ἀκριβῶς, εἰς Οὐρανοὺς ἀνυψώθης, ὑπὲρ ἡμῶν τῷ Κυρίῳ, ἀεὶ πρεσβεύων Θεομακάριςε. Δόξα ὅμοιον.

Τὰς φροντίδας τοῦ βίου ἀπαρνησάμενος, καὶ Ἀγγέλων τὸν βίον ἀναλαβόμενος, ἐγκρατείᾳ τὴν ψυχὴν κατελάμπρυνας καὶ θαυμάτων ἐκ Θεοῦ, χάριν ἐδέξω δαψιλῶς, Παΐσιε Θεοφόρε, ὑπερικετεύων, τῶν εὐσεβῶς εὐφημούντων σε.

Καὶ νῦν Θεοτ. ὅμοιον.

Παναγία Παρθένε ἡμᾶς ἐλέησον, τοὺς προσφεύγοντας πίςει πρὸς σὲ τὴν εὔσπλαγχνον, καὶ αἰτουμένους τὴν θερμήν σου νῦν ἀντίληψιν· δύνασαι γὰρ ἀληθῶς, τοὺς πάντας σῴζειν, ὡς οὖσα Μήτηρ Θεοῦ τοῦ Ὑψίςου, ταῖς μητρικαῖς σου πρεσβείαις ἀεὶ χρωμένη Θεοχαρίτωτε.



Ὠδὴ δ΄. ὁ Εἱρμός.

Ἐλήλυθας, ἐκ Παρθένου οὐ πρέσβυς οὐκ Ἄγγελος, ἀλλ'
,, αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, ὅλον με τὸν
,, ἄνθρωπον. Διὸ κραυγάζω σοι δόξα τῇ δυνάμει σου Κύριε.

Σταγόνα μοι, κατανύξεως ὄμβρυσον Δέσποινα, ἐξαίρουσα ἅπαντα, τὸν τῆς καρδίας μου καύσονα, καὶ τῆς ἀθυμίας μου, τὰς βλαβερὰς ἐπικλύσεις ἀναςέλλουσα.

Ῥομφαίᾳ με, ἡδονῆς πληγωθέντα καὶ κείμενον τραυματίαν ἄχραντε, μὴ ὑπερίδῃς ἀλλ' ἴασε, λόγχῃ καὶ τῷ αἵματι τοῦ ςαυρωθέντος Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν.

Θεοτ.

Πλουτήσασα, δεσποτείαν ἁπάσης τῆς κτίσεως, δεινῶς με πτωχεύσαντα Χάριτος Θείας ἀξίωσον· ὅπως μεγαλύνω σε, ὡς ἀγαθήν μου προςάτην Πανάμωμε.

Τοῦ Ἁγίου ὁ αὐτός.

Ἐπέδωκας τῇ ἀσκήσει Θεόφρον ὑπέρμετρα, ὡς αὐτὸν τὸν Κύριον, συγκαταβαίνειν πυκνότερον, καὶ σοὶ ὀπτανόμενον, τρανῶς προσφέγγεσθαι, πλήθη διὰ σοῦ σωθησόμεθα.

Προσείρηται Ἰωάννης ὁ Θεῖος Ἀπόςολος, ἰδικῶς τῶν δώδεκα, ἠγαπημένος τῷ κτίσαντι, ὡς καὶ ὁ Παΐσιος, αὐτῷ ὠνόμαςαι, πάντων ἀσκητῶν ὑπερέκεινα.

Ὡς ἔτυχες ἐκ τῶν πόνων σου πάτερ φιλότητος, τῆς πρὸς τοῦ παντάνακτος, ὑπερβαλλούσης ἱκέτευσον, ςαύτης

της κἀμὲ τεύξασθαι, ὅπως κηρύττω σε, μέγα τῷ Δεσπότῃ δυνάμενον. Θεοτ.

Ἁγίασον Παναγία βεβηλῶς βιοῦντα με, ἐναγῆτε πράττοντα, ἔργα φεῦ τὸν ἐναγέςατον, ἵνα ἁγιάζω σε, ἁγνοῖς ἐν χείλεσι, καὶ τὴν ἁγιότητα μέλπω σου.

Ὠδὴ ε΄. ὁ Εἱρμός.

Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας Χριςὲ ὁ Θεός· „ διὰ σοῦ γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέ- „ ρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν.

Ὁδὸν τῆς ζωῆς, ἡ τεκοῦσα ἄχραντε ὁδήγησον, ὁδὸν εἰς εὐθείαν με νῦν εἰς ἀνοδίας τε καὶ βάραθρα, χαλεπῶν συμπωμάτων, ἀλόγως κρημνιζόμενον.

Ξενώσας φρενὶ, ἑαυτὸν ἀγνώμονι Παρθένε Ἁγνὴ, ἀσώτως ἐβίωσα, χώραν εἰς μακρὰν παθῶν πλανώμενος· ἀλλ' ἐπίςρεψον σῶσον, ταῖς σαῖς με παρακλήσεσι. Θεοτ.

Ναμάτων τῶν σῶν, ζωηρρύτων πότισον τὸν δοῦλόν σου, φλογμῷ συγκαιόμενον, τῶν ἁμαρτιῶν καὶ φλογιζόμενον, προσβολαῖς τῶν δαιμόνων Παρθενομῆτορ ἄχραντε.

Τοῦ Ἁγίου ὁ αὐτός.

Δολίου ἐχθροῦ, οὐδαμῶς σε ἔλαθεν ἀπάτη Σοφὲ, ὃν γάρ σοι ἀπέςειλε χρυσοφόρον ἄρχοντα ἀπήλασας σὺν αὐτῷ ἀποπέμψας, τὸν πλεονέκτην δαίμονα.

Ἠπόρει δεινῶς, ὁ δεινὸς πολέμιος ὁρῶν τὰ αὐτοῦ κατὰ σοῦ θυρεύματα, ὡς ἰςὸν ἀράχνης σοι λυόμενα, καὶ ἐφώνει ὢ βία! τί δράσω σε Παΐσιε;

Πλουτῶν δυνατῶς, τὴν ἰσχὺν παγκράτιςε κατὰ τοῦ ἐχθροῦ, ἐξ αὐτοῦ με λύτρωσαι, ὅλον εἰσωθήσοντος εἰς βάραθρον, καὶ μικροῦ θανατῶσαι, κατὰ ψυχὴν σφαδάζοντος.



Ἐκ πλήθους Ἁγνὴ, ἐγκλημάτων ἤγγισα εἰς θάνατον, καὶ ἐκτός σου ἕτερον, μὴ εἰδὼς εὑρέσθαι ἀντιλήπτορα, ἱκετεύω σε μόνην, προφθάσασά με λύτρωσαι.

Ὠδὴ ς΄. ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος τὴν ἀνεξιχνία- „ σον, τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον ἐκ „ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Μή με δείξῃς δαιμόνων ἐπίχαρμα, ἐν τῷ κριτηρίῳ τῷ μέλλοντι Δέσποινα· ἀλλ' εὐμενῶς προσβλέψαι μοι, τὸν Κριτὴν καὶ Υἱόν σου δυσώπησον.

Λογισμοῖς παροργίζων σε Κύριε, καὶ ταῖς πονηραῖς καὶ ἀθέσμοις μου πράξεσιν, εἰς ἱλασμὸν προσάγω σοι, τὴν Μητέρα σου εἴκτειρον σῶσον με. Θεοτ.

Κατακρίσεως ῥῦσαι με Δέσποινα τὸν αὐτοκατάκριτον ὄντα τοῖς πταίσμασιν, ὡς τὸν Κριτὴν κυήσασα, καὶ Θεὸν τῶν ἁπάντων καὶ Κύριον.

Τοῦ Ἁγίου ὁ αὐτός.

Ὢ τιμῆς Παϊσίου ἧς ἔτυχεν! ἔτι ἐν τῷ σώματι πρὸς τὴν οὐράνιον, ἀνυψωθέντος ἄντυγα, παραδείσου τὰ κάλλη θεάσασθαι.

Συνεχῶς γαςριζόμενος Ἅγιε, Βὴλ τῷ νοητῷ, ὑποσπένδῳ ὁ ἄθλιος, σὺ νηςευτὴς ὡς ἄριςος, Δανιὴλ, οἷα τούτου με λύτρωσαι.

Τὸ λαμπρόν σου ἐν βρώσει κατόρθωμα, οὔτις ἄλλος ἄνθρωπος Σοφὲ διήνυσε· καὶ γὰρ νηςείαν ἄτρυτον δεκαπλαῖς ἑβδομάσι παρέτεινας.

Θε-

ΕΘΝΙΚΟ ΙΔΡΥΜΑ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Θεοτοκίον.

Ἀληθῶς τρισμακάριςον Ἄχραντε, γένος τὸ ἡμέτερον ὡς εὐμοιρῆσάν σε· πρὸς τὸν Χριςὸν μεσίτριαν, τὸν Υἱόν σου καὶ κτίςην κἂν πταίωμεν.

Καταβασία. Τὴν Θείαν ταύτην.

Κοντάκιον, ἦχος β'. Τοὺς ἀσφαλεῖς καὶ Θεοφθόγγους.

Ὁ Ἰησοῦς τοῦ Οὐρανοῦ ἐν ὕδασι, τὰ ὑπερῷα ὁ ςεγάζων κάτεισιν, Οὐρανόθεν ὡσεὶ ἄνθρωπος, εὐνοϊκῶς σε ἐπισκέψασθαι, τοὺς πόδας οὕπερ ξένως κατηξίωσαι, ἐκπλῆναι, καὶ τοῦ πλύματος κατέπιες· ὢ δόξης, ἧς ἔτυχες Παΐσιε! Ἕτερον. Ἐπεφάνης σήμερον.

Ἐγκρατείας ἄσκησιν, καὶ πολιτείαν, σὺ ἐκτήσω Ὅσιε Παΐσιε Θαυματουργέ, ὑπὲρ ἡμῶν καθικέτευε, τῶν ἐκτελούντων ἐν πίςει τὴν μνήμην σου. Ὁ οἶκος.

Ἤςραψεν ἐν τῷ κόσμῳ, ὡς ἀκτὶς φανωτάτη, ὁ βίος σου Παΐσιε Πάτερ, καὶ ψυχὰς καὶ νοῦν πάντων αὐγάζουσα βοᾷ σοι καταπείθει πάντας· Χαίροις Χριςοῦ Ἐκκλησίας ὁ λύχνος, Χαίροις Μονάςῶν πολιοῦχος ὁ Μέγας· Χαίροις ἀοράτων ἐχθρῶν ἡ κατάλυσις, Χαίροις ὁρατῶν πολεμίων ἀφάνησις· Χαίροις ὕψος πρὸς Οὐράνιον, ἀναβὰς δι' ἀρετῆς· Χαίροις κόσμου τὴν προσπάθειαν βδελυξάμενος καλῶς· Χαίροις ὅτι παρεῖδες τὰ τοῦ κόσμου ἡδέα, Χαίροις ὅτι καθεῖλες τῶν δαιμόνων τὰ πλῆκτρα· Χαίροις ἐρήμου τὸ εὔοσμον ἄνθισμα, Χαίροις τοῦ κόσμου περίδοξον καύχημα· Χαίροις δι' οὗ ὁ Σατὰν κατῃσχύνθη· Χαίροις δι' οὗ ὁ Χριςὸς ἐδοξάσθη· Χαίροις Πάτερ Παγκόσμιε.

Τῷ



Τῷ αὐτῷ Μηνὶ ιθ'. τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παϊσίου τοῦ Μεγάλου.

Ἐγώ σε Παΐσιε Ἄγγελον λέγω·
Φύσει μὲν οὐχὶ, ἀλλὰ τῷ ξένῳ βίῳ.
Ἀμφενάτῃ δεκάτῃ, θάνε Παΐσιος.

Ὁ τρισόλβιος οὗτος Ὅσιος καὶ Θεοφόρος Πατὴρ ἡμῶν Παΐσιος ὁ Μέγας, εἶχε τὸ γένος ἐξ Αἰγύπτου, ἐξ ἧς καὶ ὁ Θεόπτης Μωσῆς ὑπῆρχεν· ἐγεννήθη ὑπὸ γεννητόρων Θεοσεβῶν δεδιδαγμένων τὴν εἰς Χριςὸν πίςιν· καὶ εὐποροῦντες πολλοῦ τοῦ πλούτου, καὶ ταῖς ἄλλαις περιφανείαις κοσμούμενοι, ἐξεπαίδευσαν τούς τε παῖδας αὐτῶν ἐπιμελῶς ἐν ἐπιδόσεσι Θείων καὶ ἀνθρωπίνων. Μετὰ δὲ τὴν τελευτὴν τοῦ πατρὸς, ὁ Μακάριος οὗτος νήπιος ἔτι, καὶ τῶν ὁμαιμόνων μικρότερος ἐγκαταλέλειπται τῇ αὐτοῦ μητρὶ, ἧς λίαν πικραινούσης, Οὐράνιος Ἄγγελος ἐπέφανε προκαταγγέλων τὸ εὐδόκιμον· λέγων αὐτῇ τὸν παῖδά σου Παΐσιον ὁ Κύριος ἀφώρισε, ἵνα δοξάσῃ καὶ ὑμνῇ τὸ Πανάγιον αὐτοῦ Ὄνομα, τὸ ὑμνούμενον εἰς αἰῶνας αἰώνων. Αὐτὸς ἀρεςὸς τῷ Θεῷ ἐςι, καὶ καθήψατο αὐτὸν τῆς χειρὸς· ἡ δ' ἀποκριθεῖσα τῷ Οὐρανίῳ Ἀγγέλῳ πάντες τοῦ Θεοῦ πεφύκασι, καὶ οὗτος ὃν ὁ Θεὸς ἀρέσκει ἀφύπνωσε καὶ ἐπὶ τῇ ὀπτασίᾳ ἐθαύμαζε. Ὡς δ' οὖν ὁ τῶν Ὁσίων μέγιςος καὶ Μακάριος ἔφηβος ἐγένετο, ὑπὸ τοῦ Ὁσίου Παμβῶ κείρεται μοναχὸς, παρ' οὗ παραινούμενος μὴ εἰς ἀνθρώπου πρόσωπον ὁρᾷν, τρίτον ἔτος παρῆλθεν ἐξ ὅτου οὐκ ἀνέβλεψεν ἔτι, ἀλλὰ τὰ κάτω κεκυφὼς διήρχετο· ἐπιδοὺς δ' ἑαυτὸν τῇ ἀσκητικῇ ἀγωγῇ, τοσοῦτον ὑπερέβαλε πάντας,

τας, ὡς συλλαλῶν τῷ Χριςῷ, καὶ τοὺς πόδας αὐτοῦ ἐκπλύνων τὸ ἀπόνιπτρον ἐξέπιε· ἡ κομιδῇ τῆς ὑπὲρ ἄνθρωπον πολιτείας γέγονεν ἀρχηγὸς, καὶ εἰς τὸν ἀκρότατον ἤλασεν ὅρον, καθάπερ τὰς διαβεβοημένας περὶ αὐτοῦ πολλὰς ἀρετὰς, καὶ τὸν ὑπερθαύμαςον αὐτοῦ βίον τὸν ἰσαγγελικὸν, καὶ ἁπάσας τὰς κατ᾽ αὐτοῦ τοῦ ἐρημοπολίτου σκληραγωγίας, καὶ τὰ θαύματα, ἐντυγχάνει ὁ φιλαναγνώςης τῷ νέῳ Ἐκλογίῳ, οὗπερ ἕνεκα συντέμνοντες τὴν διήγησιν, φαμὲν τοῖς φιλεόρτοις ἐν τοσούτοις, ὅτι ἐν θνητῷ σώματι ὢν ὁ Μακάριος τοῦ σώματος ἐπανίςατο· εἰς βαθύτατον δὲ γῆρας ἐγγίσας πρὸς Κύριον ἐξεδήμησεν ἐν τοῖς Οὐρανοῖς, ὅπου μετὰ Ἀγγέλων τὸν Τρισάγιον Ὕμνον μελῳδεῖ τῷ Παντοκράτορι· οὗπερ τὴν μνείαν ἐν πίςει τελοῦντες, τύχοιμεν ταῖς αὐτοῦ πρεσβείαις τῶν αἰωνίων ἀγαθῶν, καὶ τῆς αἰωνίου μακαριότητος. Ἀμήν.

Ὠδὴ ζ΄. ὁ Εἱρμός.

Ἀντίθεον πρόςαγμα παρανομοῦντος, τυράννου μετάρσιον
,, τὴν φλόγα ἀνεῤῥίπισε· Χριςὸς δὲ ἐφήπλωσε, Θεοσεβέσι
,, παισὶ, δρόσον τὴν τοῦ Πνεύματος· ὁ ὢν εὐλογημένος
,, καὶ ὑπερένδοξος.

Ἰσχύς μου καὶ ὕμνησις καὶ σωτηρία, βεβαία ἀντίληψις καὶ τεῖχος ἀπροσμάχητον, ὑπάρχουσα Δέσποινα, τοὺς πολεμοῦντάς με, δαίμονας πολέμησον ἀεὶ, ἐπιζητοῦντας τοῦ θανατῶσαι με.

Θεὸν σωματώσασα παρθενικῶν σου, αἱμάτων ἐθέωσας Παρθένε τὸ ἀνθρώπινον. Διό με τοῖς πάθεσι καταῤῥυπούμενον, καὶ καταφθειρόμενον ἐχθροῦ, ταῖς μεθοδείαις ῥῦσαι





πρεσβείαις σου. Θεοτ.

Ἡ κάμινος γέννησιν προδιετύπου, τὴν σὴν παναμώμητε· τοὺς παῖδας γὰρ οὐκ ἔφλεξεν, ὡς οὐδὲ τὴν μήτραν σου τὸ πῦρ τὸ ἄςεκτον. Ὅθεν ἱκετεύω σε, πυρὸς τοῦ αἰωνίου ῥῦσαι τὸν δοῦλον σου.

Τοῦ Ἁγίου ὁ αὐτός.

Ἀπείληφας ἕνεκα τῶν σῶν ἀγώνων, τὸ θᾶττον ἀκούεσθαι, ἐφ᾽ ᾧ ἂν ᾖς αἰτούμενος, παρὰ τοῦ δεσπότου σου, καθὼς ἀμέσως αὐτὸς, Πάτερ καθυπέσχετο πρὸς σὲ, ἐπιφοιτήσας, ὢ τοῦ χαρίσματος.

Τὸν Παῦλον μιμούμενος ἀφαιρεθῆναι μισθοῦ τῶν καμάτων σου, προείλω Παμμακάριςε, εἰ μόνον ὁ ἔξαρχος διασωθῇ μοναχὸς, λύμης τῶν Ἑβραίων τε, ὃς δὴ καὶ σεσωσμένος, ὕμνει τὸν Κύριον.

Πρὸ ὥρας ἐξήρπασας ἐκ τῶν κευθμώνων, τοῦ ᾅδου Παΐσιε, ψυχὴν τὴν ἀνυπότακτον, καὶ ἔθου εἰς ἄνεσιν ἐξιλεώσας Χριςὸν· ὅνπερ ἐκδυσώπησον ἡμᾶς τε ἀπαλλάξη τῆς κατακρίσεως. Θεοτ.

Καλὴν ἐν γυναίοις σε τὸ ᾆσμα κράζει, ὡραίαν αὖ πάλιν τε, Θεόπαις ἐν νεάνισιν, καὶ νύμφην ἀνύμφευτον ἐν ταῖς παρθένοις Ἁγνή· οὐ γὰρ ἰσοςάσιος ςαθμὸς, τῆς καλλονῆς σου, πέλει καὶ χάριτος.

Ὠδὴ η΄. ὁ Εἱρμός.

Κάμινός ποτε, πυρὸς ἐν Βαβυλῶνι τὰς ἐνεργείας διεμέρι-
,, ζε, τῷ Θείῳ προςάγματι· τοὺς Χαλδαίους καταφλέγουσα,
,, ψάλλοντας, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύ-
,, ριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ζήλου τὰ καλὰ, κακῶν μακρυνομένη, δι ἀμελείας Θείων πράξεων, ψυχή μου πρεσβεύουσαν ὑπὲρ σοῦ τὴν Θεομήτορα, καὶ πάντων ἀκαταίσχυντον, ἔχουσα προστασίαν, ὡς συμπαθῆ καὶ φιλάνθρωπον.

῎Ελυσας δεσμοῦ, τῆς πάλαι καταδίκης Θεοκυῆτορ τὸ ἀνθρώπινον, ὅθεν ἱκετεύω σε, διαλῦσαι πάντα σύνδεσμον κακίας τῆς καρδίας μου, ῎Αχραντε συνδεσμοῦσα, Θείᾳ στοργῇ με τοῦ κτίσαντος. Θεοτ.

Δόξης τοῦ Πατρὸς, ἀπαύγασμα τεκοῦσα τῇ ἀδοξίᾳ σκυθρωπάζουσαν, πταισμάτων καρδίαν μου, Θεοτόκε καταφαίδρυνον, καὶ δόξης με ἀνάδειξον, μέτοχον ἀϊδίου, ὅπως ἐν πίστει δοξάζω σε. Τοῦ Ἁγίου ὁ αὐτός.

῎Ωφθη σοι Χριστὸς, Ἀγγέλων ἐν δυάδι, σχηματιζόμενος τὸ δεῖσθαι σου, ξενίαν σκευάσασθαι· σὺ δ᾽ αὐτὸν, προθύμως δέδεξαι, ὡς Ἀβραὰμ τὸ πάλαι Μακάριε, καὶ τοὺς πόδας ἐκπλύνας, ἐγεύσω τ᾽ ἀπόνιπτρον.

Χάριτος πολλῆς, Σοφὲ κατηξιώθης· τῷ μαθητῇ σου γὰρ μὴ πράττοντι, τὰ σὰ ἐπιτάγματα, ἐξαναστᾷν Ἁγίου λείψανον, σῇ προσταγῇ τοιαῦτα πως ἔχρησεν, ἐπιτέλει τέκνον τοὺς λόγους τοῦ σοῦ προστατεύοντος.

Ζώωσον ἡμᾶς τῇ πλάνῃ νεκρωθέντας, καὶ πεπτωκότας παραβάσεσι, παντοίαις διέγειρον, μολυνθέντας τε Παναγίε, ταῖς ἡδοναῖς εἰς τέλος ἐκκάθαρον, ἀμυθήτῳ παῤῥησίᾳ, ἣν ἔχεις πρὸς Κύριον. Θεοτ.

Κόρη Μαριὰμ, ἡ κτίσις ἐποφείλει, ὁμολογεῖν σοι πλήστας χάριτας· καὶ γὰρ ὃν ἐγέννησας, φωτουργὸς καταγγελόμενος· ἐσκοτισμένην ταύτην διάγνοιαν, οἰκτειρήσας ὄντως ὡς κτίστης, φωτὶ κατελάμπρυνεν.



Ὠδὴ θ΄. ὁ Εἱρμός.

Ἀνάρχου γεννήτορος Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς
,, ἐκ Παρθένου ἡμῖν ἐπέφανε τὰ ἐσκοτισμένα φωτίσαι,
,, συναγαγεῖν τὰ ἐσκορπισμένα. Διὸ τὴν πανύμνητον,
,, Θεοτόκον μεγαλύνομεν.

Γευσάμενος βρώσεως, μὴ προσηκούσης θάνατον ὁ Ἀδὰμ ἀπὸ ξύλου πικρῶς ἐτρύγησε· ξύλῳ δὲ παγεὶς ὁ Υἱός σου, τὸν γλυκασμὸν τῆς ἀθανασίας, ἐπήγασεν ῎Αχραντε. Διὰ τοῦτο σὲ γεραίρομεν.

Βασίλισσα πέφυκας τὸν Βασιλέα Κύριον, ὑπὲρ λόγον τεκοῦσα τὸν διαλύσαντα, ᾅδου τὰ Βασίλεια κόρη· ὃν ἐκτενῶς δυσώπει τῆς ἄνω, Βασιλείας ἅπαντας, ἀξιῶσαι τοὺς τιμῶντάς σε. Θεοτ.

Ἀγάθυνον Δέσποινα, τὴν ταπεινὴν καρδίαν μου, ἡδονῶν κακωθεῖσαν ταῖς ἐπικλήσεσιν, ὡς τὸν ἀγαθὸν τετοκυῖα καὶ ἀγαθὴ ὑπάρχουσα ὅλη, καὶ πρὸς μετανοίας με, ἀγαθὰς πύλας εἰσάγαγε.

Τοῦ Ἁγίου ὁ αὐτός.

Ἀνέπτης Παΐσιε, ἐν οἷς ἀγγέλων τάγματα, προφητῶν προεδρίαι, Μαρτύρων στέφανοι, Θείων Ἀποστόλων τε θρόνοι, καὶ ἀσκητῶν, λαμπραὶ πανηγύρεις, μεθ᾽ ὧν τὸν Τρισάγιον, μελῳδεῖς τῷ Παντοκράτορι.

῏Ω φάους ὑπέρχυσις! ὢ ἄνθεα πανεύοσμα! ὢ καρποὶ γλυκοτρόφοι! ὢ ἦχος πάντερπνος! ὢ ὑπερουράνια κάλλη! ὢν ἐντρυφᾶς, Παΐσιε Πάτερ, ἀφράστως ἑνούμενος, τῇ Τριάδι Παμμακάριστε.

Ἐ-

ΚΕΦΑΛΛΗΝΙΑΚΗ ΠΑΝΕΛΛΗΝΙΑ ΚΟΡΓΙΑΛΕΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗ ΠΑΠΑ

Ἐφέσεως ἔληξας, τῆς σῆς Ὁσίων Μέγιστε· ὀρεκτῶν ἀπολαύσας εὐκτῶς τὸ ἄωτον, καὶ τῆς ἀγλαΐας τῆς Θείας, ἐμφορηθεὶς, ἐν τοῖς Οὐρανίοις, ἡμῶν τε μνημόνευε, τῶν ἐν πίστει μεμνημένων σου. Θεοτ.

Καλῶν σὺ ἐχώρησας, Παρθένε τὸ αὐτόκαλον, τεξαμένη ἀφράστως τὸν ὑπερούσιον, ὃς συγκαταβαίνων ἐφάνη ὑπερφυῶς, βροτός τε Θεὸς ὢν, δυσὶν ἐν οὐσίαις τε, ἐνεργείαις καὶ θελήσεσιν.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Τῶν ἀσκητῶν ὡς μείζονι, Κωνσταντῖνος ὁ Μέγας, ἐν Βασιλεῦσιν ὤφθη σοι, καταπτὰς οὐρανόθεν, τὴν βιοτὴν τῶν ἀζύγων, ἔφασε μακαρίζειν· ἐξόχως δέ σε Μέγιστε, ὡς ἐκείνων ἀλείπτην, ὧν περ αὐτὸς, δυσχεραίνων ἔλεγε στερηθῆναι, τὴν παῤῥησίαν καίτοιγε τετευχὼς Θείας δόξης.

Θεοτ.

Τὸ μέγα καὶ παράδοξον τοῦ τόκου σου Μυστήριον, Θεοχαρίτωτε κόρη, καὶ Θεομῆτορ Παρθένε, Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν· Μάρτυρες ὡμολόγησαν Ἄγγελοι δὲ ἀνυμνοῦσι, καὶ ἄνθρωποι προσκυνοῦσιν.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια δευτεροῦντες τὸ α'. ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν Οὐρανίων ἀψίδων περιϊπτάμενος, διὰ ζωῆς ἐνθέου, ὦ Παΐσιε Πάτερ! ὑπέδυς ἐν τῷ γνόφῳ, δι' ἧς ἀληθῶς, οὐκ αἰνίγμασιν Ὅσιε, ἀλλ' ἐν τῇ χάριτι ὤφθης τῇ τοῦ Θεοῦ, τὰς ἐλλάμψεις εἰσδεχόμενος.

Σὺ τὰ ἐπίκηρα πάντα, λόγῳ παρεῖδες ὁμοῦ· ἐκ βρέφους γὰρ



γὰρ τὴν τούτων, κατεφρόνησας δόξαν, προσέδραμες ἐμφρόνως τῷ πάντων Θεῷ, ὡς διψῶσά τις ἔλαφος. Ὅθεν ναμάτων ἐκεῖθεν ἐμφορηθεὶς καὶ ἡμῖν μετάδος Ἅγιε.

Καὶ ἐν τῇ γῇ διατρίβων ἔτι Μακάριε· στρατιὰς Οὐρανίους, μυστικῶς ἐθεώρεις, τοὺς ἄζυγας φρουροῦσα τοὺς ὑπὸ σὲ, πολλῷ μᾶλλον Παΐσιε, εἰς Οὐρανοὺς μεταστὰς νῦν χαρμονικῶς, μετ' ἐκείνων συγχορεύεις ἀεί.

Δόξα ἦχος πλ'. α'.

Στύλος φωτοφανὴς πᾶσιν ἐφάνης· ἁπάσῃ γὰρ ἀρετῇ κοσμούμενος, σοφίᾳ τε καὶ γνώσει καλλυνόμενος, καὶ τῇ πραότητι ἐμπρέπων, ἀγάπῃ τῇ πρὸς τὸν πέλας ἐκκαιόμενος, καὶ ταῖς λοιπαῖς ἀρεταῖς ἐγκωσμούμενος, τῇ οἰκουμένῃ ἐξήστραψας, ἡλίου δίκην Παΐσιε, καθοδηγῶν τοὺς φοιτητάς σου, καὶ μονοτρόπων τὰ συστήματα, πρὸς ἀνέσπερον κατάπαυσιν, ἀλλὰ καὶ ἡμᾶς τοὺς ἐκ πόθου τελοῦντας σου τὸ ἱερόν σου μνημόσυνον δυσώπησον, ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν μακαρίζομέν σε Θεοτόκε Παρθένε.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Δίδοται καὶ Ἅγιον Ἔλεον τοῖς ἀδελφοῖς. Εἰς τὴν Λειτουργίαν οἱ μακαρισμοὶ ἐκ τοῦ κανόνος Ὠδὴ γ'. καὶ ς'. ὁ Ἀπόστολος.

Προκείμενον ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ, ὁ καρπὸς τοῦ Πνεύματος ἐστὶν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρα-

πραότης, ἐγκράτεια. Κατὰ τῶν τοιούτων οὐκ ἔςι νόμος. Οἱ δὲ τοῦ Χριςοῦ, τὴν σάρκα ἐςαύρωσαν, σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ ςοιχῶμεν. Μὴ γενώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις, φθονοῦντες. Ἀδελφοὶ, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ Πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς· ἀλλήλων τὰ βάρη βαςάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριςοῦ. Ἀλληλούϊα. ἦχος πλ. β'.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἔςη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας, καὶ Ἱερουσαλὴμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο, καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας· καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε. Μακάριοι οἱ πτωχοὶ, ὅτι ὑμετέρα ἐςὶν ἡ Βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοι ἐςὲ, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ σκιρτήσα-



σατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς Οὐρανοῖς.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔςαι δίκαιος.

Μεγαλυνάρια ψαλλόμενα εἰς τὴν λιτὴν τοῦ Ἁγίου.

Σοῦ ἡ ὑπὲρ ἄνθρωπον βιωτὴ, ἐξέπληξε νόας, καὶ δαιμόνων τοὺς ζοφεροὺς, πῶς γυμνὸς τῷ βίῳ, καὶ τούτους ἐτροπόσω. Παΐσιε διό σε, Χριςὸς ἐδόξασε.

Ἔφριξαν φρυάγματα ζοφερὰ, πονηρῶν πνευμάτων τῶν ἀγώνων σου τὸ ςεῤῥὸν, Παΐσιε Πάτερ· ἐνίκησας γὰρ τούτων, τὰς ἀμυδρὰς ἐνέδρας, καὶ ἦρας τρόπαιον.

Τοὺς ἐπιτελοῦντας χαρμονικῶς, σοῦ τὴν Θείαν μνήμην, καὶ καλοῦντάς σε βοηθὸν, σκέπε φρούρει τούτους ἀπὸ πάσης ἀνάγκης, Παΐσιε Τρισμάκαρ, Ὁσίων καύχημα.

ΤΕΛΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ